## Παρέλλειψις.

§. υπή. Παρέλλειψις δὲ, ὅταν τι τῶν διπλασιαζομενων συμφώνων παραλείπηται. οἷον, κάλλιον, κάλιον. θᾶττον, θᾶτον.

## Ἔκθλιψις.

§. υπθ΄. Ἔκθιψις δέ ἐστιν, ἀποβολὴ συμφώνου κατὰ τὸ μέσον, οὐ ποιοῦντος συλλαβήν. οἷον, σκῆπτρον, σκῆπτον.

## Ἀποκοπή.

§. υϙ΄. Ἀποκοπὴ δέ ἐστιν, ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος. οἷον, δῶμα, δῶ. Ἀπόλλωνα, ἀπόλλω. ταῦτα, καὶ περὶ Ἐνδείας· λεκτέον δὲ καὶ περὶ τῶν λοιπῶν.

## Μετάθεσις.

§. υϙά. Μετάθεσίς ἐστι, στοιχείου μετακίνησις ἐκ τῆς ἰδίας ταξεως ἐφ᾽ ἑτέραν. οἷον, καρδία, κραδία. κράτος, κάρτος. καλεῖται δὲ καὶ ἀνάλλαξις, καὶ ὑπέρθεσις. ἔστι δὲ Ἰώνων τὸ πάθος.

## Μετάληψις.

§. υϙβ΄. Μετάληψις δέ ἐστι, στοιχείου μεταβολή. οἷον, ἀπεδανὸς, ἠπεδανός. αἱμοπότης, αἱμηπότης.

## Τμῆσις.

§. υϙγ΄. Τμῆσις δέ ἐστι, λέξεως συνθέτου ἀνάλυσις εἰς δύο. οἷον, ἀκρόπολις, ἄκρα πόλις. τοσαῦτα καὶ περὶ τῶν κατὰ Διαλέκτους παθῶν τῆς λέξεως.